eul_wid: kyg-aa

*Κριτόλαος ὁ Φασηλίτης* · Critolaus of Phaselis Historian

# Fragments on Prophecy

*Ἀποσπάσματα περὶ Προφητείας*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἀττική* Attic (phi, frg)
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

### ΗΠΕΙΡΩΤΙΚΑ. E LIBRO TERTIO. Plutarchus Par.

1 min. c. 6: Ῥωμαίων πρὸς Πύρρον Ἠπειρώτην πολεμούντων, Αἰμίλιος Παῦλος χρησμὸν ἔλαβε νικῆσαι, βωμὸν ἐὰν ποιήσῃ, ἔνθα ἂν ἴδῃ χάσματι κρυπτόμενον ἄνδρα τῶν ἐπισήμων μετὰ ἅρματος· μετὰ τρεῖς ἡμέρας Οὐαλέριος Κονάτος κατ' ὄναρ ἰδὼν ἀναλαβεῖν ἱερέως κόσμον (καὶ γὰρ ἦν μαντικῆς ἔμπειρος), στρατηγήσας καὶ πολλοὺς φονεύσας, ὑπὸ γῆς κατεπόθη. Ὁ Αἰμίλιος δὲ βωμὸν ἱδρύσας, ἐνίκησε καὶ ἑκατὸν ἑξήκοντα πυργοφόρους ἐλέφαντας εἰς Ῥώμην κατέπεμψεν. Ὁ δὲ βωμὸς μαντεύεται κατ' ἐκεῖνον τὸν καιρὸν, καθ' ὃν ἐνικήθη Πύρρος, ὡς ἱστορεῖ Κριτόλαος τρίτῃ Ἠπειρωτικῶν. ΦΑΙΝΟΜΕΝΑ. [10]

### E LIBRO QUARTO. Id.

2 ib. c. 9: Κρόνος ἐπιξενωθεὶς γεωργῷ, ᾧ ἦν θυγάτηρ καλὴ Ἐντωρία, ταύτην ἐβιάζετο καὶ ἐτέκνωσεν υἱοὺς, Ἰάνον, Ὕμνον, Φαῦστον, Φήλικα. Δοὺς οὖν τρόπον τῆς τοῦ οἴνου πόσεως καὶ τῆς ἀμπέλου, ἠξίωσε καὶ τοῖς γείτοσι μεταδοῦναι. Ποιήσαντες δ' αὐτὸ καὶ πιόντες παρὰ τὸ σύνηθες, εἰς ὕπνον κατηνέχθησαν βαρύτερον τοῦ δέοντος· οἱ δὲ πεφαρμακῶσθαι δόξαντες, λίθοις βάλλοντες τὸν Ἰκάριον ἀπέκτειναν· οἱ δὲ θυγατριδαὶ ἀθυμήσαντες, βρόχῳ τὸν βίον κατέστρεψαν. Λοιμοῦ δὲ κατασχόντος Ῥωμαίους, ἔχρησεν ὁ Πύθιος λωφήσειν, ἐὰν ἐξιλάσωνται τοῦ Κρόνου τὴν μῆνιν καὶ τοὺς δαίμονας τῶν ἀνόμως ἀπολομένων. Λουτάτιος δὲ Κάτλος, ἀνὴρ τῶν ἐπισήμων, κατεσκεύασε τῷ θεῷ τέμενος τὸ κείμενον σύνεγγυς τοῦ Ταρπηΐου ὄρους, καὶ τὸν ἄνω βωμὸν ἱδρύσατο τετραπρόσωπον, ἢ διὰ τοὺς θυγατριδὰς, ἢ ὅτι τετραμερὴς ὁ ἐνιαυτός ἐστι, καὶ μῆνα κατέδειξεν Ἰανουάριον. Ὁ δὲ Κρόνος πάντας κατηστέρισεν. Καὶ οἱ μὲν καλοῦνται προτρυγητῆρες, ὁ δ' Ἰάνος προανατέλλων· δείκνυται δὲ ὁ ἀστὴρ πρὸ τῶν ποδῶν τῆς παρθένου· ὡς Κριτόλαος ἐν τετάρτῃ Φαινομένων. Festus: At Critolaus Saonem ex Samothrace, cum Aenea deos Penates qui Lavinium transtulerit, saliare genus saltandi instituisse, a quo appellatos Salios, quibus per omnes dies, ubicumque manent, quia amplae ponuntur cenae, si quae aliae magnae sunt, saliares appellantur. [5]